# Zénón Elejský

Ζήνων

Fragmenta DK 29 A

(Hrubě p*racovní překlad vycházející z Karla Svobody*)

**B 1** = Simplikios, In Physica 140,34 – 141,8 (sec. B 3)

Stejným způsobem [ukázal bezmezno] co do o velikosti (*megethos*, rozsah). Napřed totiž dokázal, že „pokud by jsoucno nemělo velikost, nebylo by”. Vyvozuje:
„Když je jsoucí, musí každé jsoucno mít nějakou velikost i tloušťku, také musí být jedno jsoucno odděleno od druhého. A stejně se to má s i tím jsoucnem, které je před oním. I to bude mít velikost a opět bude něco před ním. A toto lze říci jednou a lze to říkat i neustále, neboť žádné takové jsoucno nebude poslední a žádné nebude ani beze vztahu k dalšímu. Proto je-li jsoucen mnoho, je nutné, aby byla jak malá tak veliká, a to zároveň; tak malá, že nemají velikost, a tak veliká, že jsou bezmezná (*apeira*, nekonečná).”

τὸ δὲ κατὰ μέγεθος [ἄπειρον ἔδειξε] πρότερον κατὰ τὴν αὐτὴν ἐπιχείρησιν. προδείξας γὰρ ὅτι ᾽εἰ μὴ ἔχοι μέγεθος τὸ ὄν, οὐδ᾽ ἂν εἴη᾽, ἐπάγει·
᾽εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ πάχος καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγος. καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τι. ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν· οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχατον ἔσται οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται. οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι᾽.

**B 2** = Simplikios, In Physica 139, 5

Ve svém spise, který obsahuje četné důkazy, pokaždé dovozuje, že ten, kdo uznává mnohost, říká věci navzájem si odporující. Tak je jeden důkaz, který dovozuje, že je-li jsoucen mnoho, jsou zároveň i veliká i malá; tak veliká, že jsou nekonečně veliká, a tak malá, že nemají vůbec žádnou velikost (viz B 1). Dokazuje to tím, že nemá-li něco ani velikost, ani tloušťku, ani objem, pak vůbec nemůže být.

ἐν μέντοι τῶι συγγράμματι αὐτοῦ πολλὰ ἔχοντι ἐπιχειρήματα καθ᾽ ἕκαστον δείκνυσιν, ὅτι τῶι πολλὰ εἶναι λέγοντι συμβαίνει τὰ ἐναντία λέγειν· ὧν ἕν ἐστιν ἐπιχείρημα, ἐν ὧι δείκνυσιν ὅτι ᾽εἰ πολλά ἐστι, καὶ μεγάλα ἐστὶ καὶ μικρά· μεγάλα μὲν ὥστε ἄπειρα τὸ μέγεθος εἶναι, μικρὰ δὲ οὕτως ὥστε μηθὲν ἔχειν μέγεθος᾽ (B 1). ἐν δὴ τούτωι δείκνυσιν, ὅτι οὗ μήτε μέγεθος μήτε πάχος μήτε ὄγκος μηθείς ἐστιν, οὐδ᾽ ἂν εἴη τοῦτο.

„Neboť", říká, „kdyby to přistoupilo k jiné věci, nikterak by ji to nezvětšilo, vždyť není-li žádná velikost a přistoupí-li k něčemu, nemůže to nijak získat na velikosti a nenastane žádný přírůstek. A když se ubíráním nezmenší a přidáváním nezvětší, je patrné, že ani přidané ani ubrané nebylo ničím."
᾽εἰ γὰρ ἄλλωι ὄντι, φησί, προσγένοιτο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι. καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσεται, δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον.᾽

Zénón to neříká, aby popřel jedno, nýbrž to, že každá z mnohých ba bezmezných věcí má velikost. Bezmezných proto, že díky neomezené dělitelnosti je před tím, co uchopujeme, vždy něco jiného [= vždy je nějaká menší velikost]. Dokazuje to, když před tím dovodil, že nic nemá velikost, že každá z mnohých věcí je se sebou totožná a jedna.
καὶ ταῦτα οὐχὶ τὸ ἓν ἀναιρῶν ὁ Ζήνων λέγει, ἀλλ᾽ ὅτι μέγεθος ἔχει ἕκαστον τῶν πολλῶν καὶ ἀπείρων τῶι πρὸ τοῦ λαμβανομένου ἀεί τι εἶναι διὰ τὴν ἐπ᾽ ἄπειρον τομήν· ὃ δείκνυσι προδείξας, ὅτι οὐδὲν ἔχει μέγεθος ἐκ τοῦ ἕκαστον τῶν πολλῶν ἑαυτῶι ταὐτὸν εἶναι καὶ ἕν.

**B 3** = Simplikios, In Physica 140, 27

(...) Když Zénón ukazuje, že je-li mnohé, je zároveň omezené i neomezené, píše doslovně toto:
καὶ τί δεῖ πολλὰ λέγειν, ὅτε καὶ ἐν αὐτῶι φέρεται τῶι τοῦ Ζήνωνος συγγράμματι; πάλιν γὰρ δεικνύς, ὅτι εἰ πολλά ἐστι, τὰ αὐτὰ πεπερασμένα ἐστὶ καὶ ἄπειρα, γράφει ταῦτα κατὰ λέξιν ὁ Ζηνων·

„Je-li jsoucen mnoho, je nutné, aby jich bylo tolik, kolik jich je, ani více, ani méně. A je-li jich tolik, kolik jich je, budou omezena (omezeného počtu).Je-li jich mnoho, jsou neomezena

(počtem), neboť vždy je mezi nimi další a mezi tím je znovu další. Tak jsou jsoucna neomezena (počtem, velikostí?).”

᾽εἰ πολλά ἐστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα. εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστί, πεπερασμένα ἂν εἴη.
εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστί, καὶ πάλιν ἐκείνων ἕτερα μεταξύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί.᾽

Takto ukázal dělením nekonečnost co do množství.
καὶ οὕτως μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομίας ἔδειξε.

**B 4** = Diogenés Laertios, Vitae philosophorum IX, 72

Dokonce i Xenofanés, Zénón Elejský a Démokritos jsou podle nich [pyrrhónovců] skeptiky. (...)
Zénón vyvrací pohyb, když říká:
„Pohybující se nepohybuje ani na tom místě, kde je, ani na tom, kde není.”

οὐ μὴν ἀλλὰ καὶ Ξενοφάνης καὶ Ζηνων ὁ ᾽Ελεάτης καὶ Δημόκριτος κατ᾽ αὐτοὺς σκεπτικοὶ τυγχάνουσιν ... Ζηνων δὲ τὴν κίνησιν ἀναιρεῖ λέγων
᾽τὸ κινούμενον οὔτ᾽ ἐν ὧι ἔστι τόπωι κινεῖται οὔτ᾽ ἐν ὧι μὴ ἔστι᾽.